ποιεῖται τὰς γνώσεις, ἡ δὲ τέχνη καὶ ῥευστῶν. ἆρα οὖν ὁ φυσιολόγος οὐκ ἔστιν ἐπιστήμων ῥευστῶν ποιούμενος καὶ ἐνύλων πραγμάτων ζήτησιν; φαμὲν ὅτι ʻναί, ἐπιστήμων ἐστίν, οὐχ ᾗ ἐνύλων πραγμάτων ἐστὶ ζητητής, ἀλλ᾽ ᾗ ἐπὶ τὰ καθόλου αὐτὰ ἀναφέρει καὶ ζητεῖ τῶν καθόλου φυσικῶν πραγμάτων τὴν ὑπόστασινʼ.

Ὥστε ἰστέον ὅτι τὴν ψευδῆ διαβάλλει ῥητορικήν, οὐ τὴν ἀληθῆ. ἀμέλει αὐτὸς λέξει ὅτι ʻταῦτα δὲ λέγω οὐ περὶ τῆς ἀληθινῆς ῥητορικῆςʼ. εἰ οὖν καὶ ἔσῳζον οἱ περὶ Θεμιστοκλέα, οὐκ ἦσαν ῥήτορες ἀληθεῖς ὡς μὴ ἄγοντες τὴν δημοκρατίαν ἐπὶ τὴν ἀριστοκρατίαν. εἰ δέ τις εἴποι ὅτι οὐκ ἠδύναντο, αὐτὸ τοῦτο λέγει ὅτι οὐκ ἦσαν ἀληθεῖς καὶ συνηγορεῖ ἡμῖν· ὥστε διακονικοὶ ἦσαν ἀναλογοῦντες φαρμακοπώλαις πρὸς ἰατρούς.

*Τὸ αὐτὸν ἐρωτᾶν* [447 c 5]: ἐπιεικῶς ὁ Καλλικλῆς **5**
ἀποκρίνεται· ἵνα γὰρ μὴ δόξῃ ἀποφαίνεσθαι ὑπὲρ ἄλλου,
λέγει ὅτι καλόν ἐστιν αὐτὸν τὸν Γορ|γίαν ἐρωτῆσαι εἰ 17
ἡδέως ἔχει διαλεχθῆναι. καὶ γὰρ τοῦτο ἕν ἐστι τῆς ἐπιδείξεως αὐτοῦ, τὸ λέγειν ὅτι ʻὁ θέλων ἐρωτάτω καὶ πρὸς πάντα ἀποκρίνομαι ἑτοίμωςʼ. ταῦτα δὲ διελέγοντο εἰσιόντες ἔσω εἰς τὸν οἶκον τοῦ Καλλικλέους.

*Ὦ Χαιρεφῶν ἐροῦ αὐτόν* [447 c 9]: ὡς εἰρήκαμεν **6**
μέσην ἔχει τάξιν ὁ Χαιρεφῶν καὶ διὰ τοῦτο κελεύει τῷ Χαιρεφῶντι ἐρωτῆσαι τὸν Γοργίαν.

*Τί ἔρωμαι* [447 c 10]: δείκνυσιν ὁ Χαιρεφῶν τὴν πρὸς **7**
τὸν διδάσκαλον αἰδῶ· οὐκ ἐρωτᾷ γὰρ τὸν Γοργίαν προπετῶς, ἀλλὰ πρότερον μανθάνει παρὰ τοῦ Σωκράτους τί ὀφείλει ἐρωτῆσαι.

*Ὅστις ἐστίν* [447 d 1]: ἰστέον ὅτι ὁ ἄνθρωπος καὶ **8**
πολυμερὴς καὶ ἀμερής ἐστιν· ἀμερὴς μὲν κατὰ τὸ ὄνομα,

**mg. 1.3** ἀπορία | λύσις